eul_wid: fkk-ab

*Ἔφιππος ὁ Ἀθηναῖος* · Ephippus of Athens the Comic Poet

# Fragments on Alexander's Feast

*Ἀποσπάσματα περὶ τοῦ Ἀλεξάνδρου Συμποσίου*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Παρ’ Ἀλεξάνδρου δ’ ἐκ Θετταλίας κόλλικα
book 1.2 φαγὼν κρίβανος ἄρτων.
book 1.1 [spk_ηρ]ΗΡ. Οὐκ οἶσθά μ’ ὄντα
book 1.2 πρὸς θεῶν
book 1.3 Τιρύνθιον Ἀργεῖον, οἳ μεθύοντες ἀεὶ τὰς μάχας
book 1.1 [spk_β]πάσας μάχονται; Β. τοιγαροῦν
book 1.2 φεύγους’ ἀεί.
book 1.1 Τούτῳ δ’ ὁπόταν ναέται χώρας ἰχθύν
book 1.2 τιν’ ἕλως’ οὐχ ἡμέριον, τῆς
book 1.3 περικλύστου δ’ ἁλίας Κρήτης μείζω μεγέθει, λοπάς ἐστ’ αὐτῷ[ln_5]δυνατὴ τούτους
book 1.4 χωρεῖν ἑκατόν. καὶ περιοίκους εἶναι
book 1.5 ταύτης Ἰνδούς, Λυκίους, Μυγδονιώτας, Κραναούς, Παφίους. τούτους δ’ ὕλην κόπτειν, ὁπόταν βασιλεὺς ἕψῃ[ln_10]τὸν μέγαν ἰχθύν, καὶ προσάγοντας, καθόσον πόλεως ἕστηκεν ὅρος, τοὺς δ’ ὑποκάειν. λίμνην δ’ ἐπάγειν ὕδατος μεστὴν εἰς τὴν ἅλμην, τοὺς δ’ ἅλας αὐτῷ ζεύγη
book 1.6 προσάγειν
book 1.1 [ln_15][spk_β]μηνῶν ὀκτὼ συνεχῶς ἑκατόν· περιπλεῖν δ’ ἐπὶ τοῖς ἄμβωσιν ἄνω πέντε κέλητας
book 1.2 πεντασκάλμους, περιαγγέλλειν τ’ οὐχ ὑποκάειν Λυκίων
book 1.3 πρυτάνεις. Β. ψυχρὸν
book 1.4 τουτὶ[ln_20]παύου
book 1.5 φυσῶν, Μακεδὼν ἄρχων· σβέννυ Κελτούς, μὴ προσκαύσῃς.
book 2.1 Ἔπειτα πῶς οὐ στέφανος οὐδείς ἐστι
book 2.2 πρόσθε τῶν θυρῶν; οὐ κνῖσα κρούει ῥινὸς ὑπεροχὰς ἄκρας, Ἀμφιδρομίων ὄντων; ἐν οἷς νομίζεται[ln_5]ὀπτᾶν
book 2.3 τε τυροῦ Χερρονησίτου τόμους, ἕψειν τ’ ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην, πνίγειν
book 2.4 τε παχέων ἀρνίων
book 2.5

στηθύνια, τίλλειν

book 2.6 τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις, κοινῇ τε

book 2.7 χναύειν

book 2.8 τευθίσιν

book 2.9 σηπίδια,[ln_10]πιλεῖν

book 2.10 τε πολλὰς

book 2.11 πλεκτάνας ἐπιστρόφως, πίνειν

book 2.12 τε πολλὰς κύλικας εὐζωρεστέρας.

book 3.1 Καὶ συναγώγιμον

book 3.2 συμπόσιον ἐπιπληροῦσιν.

book 1.1 Ἔπειτά γ' εἰσιόντ', ἐὰν λυπούμενος τύχῃ τις ἡμῶν, ἐκολάκευσεν ἡδέως, ἐφίλησεν, οὐχὶ συμπιέσασα τὸ στόμα, ὥσπερ

book 1.2 πολέμιον, ἀλλὰ τοῖσι

book 1.3 στρουθίοις[ln_5]χαυνοῦς' ὁμοίως ἧσε, παρεμυθήσατο, ἐποίησέ θ' ἱλαρὸν εὐθέως τ' ἀφεῖλε πᾶν αὐτοῦ τὸ λυποῦν κἀπέδειξεν ἵλεων.

book 2.1 Κοινωνεῖ γάρ, ὦ μειράκιον, ἡ ἐν

book 2.2 τοῖσιν αὐλοῖς μουσικὴ κἀν τῇ λύρᾳ τοῖς ἡμετέροισι

book 2.3 παιγνίοις· ὅταν γὰρ εὖ συναρμόσῃ τις

book 2.4 τοῖς

book 2.5 συνοῦσι τὸν

book 2.6 τρόπον,[ln_5]τόθ' ἡ μεγίστη τέρψις ἐξευρίσκεται.

book 1.1 Χόνδρος μετὰ ταῦτ' εἰσῆλθε, μύρον Αἰγύπτιον, φοινικίνου βῖκός

book 1.2 τις ὑπανεῴγνυτο, ἴτρια

book 1.3 τραγήμαθ' ἧκε, πυραμοῦς, ἄμης, ᾠῶν ἑκατόμβη. πάντα

book 1.4 ταῦτ' ἐχναύομεν.[ln_5]ἐμασώμεθ' οὕτως ἀνδρικῶς ὅς' εἴχομεν· καὶ γὰρ

book 1.5 παραμασύντας

book 1.6 τινὰς

book 1.7 παραβόσκομεν.

book 2.1 Οὐ κύλικας ἐπὶ τὰ δεῖπνα

book 2.2 Χαιρήμων φέρει; οὐ κυμβίοισι

book 2.3 πεπολέμηκ' Εὐριπίδης;

book 3 Φιάλην ἑκατέρᾳ ἔδωκε κεράσας ζωρότερον Ὁμηρικῶς.

book 1.1 [spk_β]Οἶνον πίοις ἂν ἀσφαλέστερον

book 1.2 πολύ ὑδαρῆ. Β. μὰ τὴν γῆν, ἀλλὰ τρία καὶ τέτταρα. Α. οὕτως ἄκρατον, εἰπέ μοι, πίει; τί φῄς;

book 1.1 Θύννου

book 1.2 τεμάχη, γλάνιδος, γαλεοῦ, ῥίνης, γόγγρου, κέφαλος, πέρκη, σαῦρος, φυκίς, βρίγκος, τρίγλη, κόκκυξ, φάγρος, μύλλος, λεβίας,[ln_5]σπάρος, αἰολίας, θρίττα, χελιδών, καρίς, τευθίς, ψῆττα, δρακαινίς, πουλυπόδειον, σηπία, ὀρφῶς, κωβιός, ἀφύαι, βελόναι, κεστρεῖς.

book 2

Καὶ μετὰ δεῖπνον κόκκος * * ἐρέβινθος * * * κύαμος, χόνδρος, τυρός, μέλι, σησαμίδες, βράχος, βρυγμός,[ln_5]μνοῦς, πυραμίδες, μῆλον, κάρυον, γάλα, κανναβίδες, κόγχαι, χυλός, Διὸς ἐγκέφαλος.

book 1.1 Ἔπειτ’ ἀναστὰς εὔστοχος νεανίας, τῶν ἐξ Ἀκαδημίας

book 1.2 τις ὑπὸ Πλάτωνα καί Βρυσωνοθρασυμαχειοληψικερμάτων

book 1.3 πληγεὶς ἀνάγκῃ, ληψιλογομίσθῳ τέχνῃ[ln_5]συνών

book 1.4 τις, οὐκ ἄσκεπτα δυνάμενος λέγειν, εὖ μὲν μαχαίρᾳ ξύστ’ ἔχων

book 1.5 τριχώματα, εὖ δ’ ὑποκαθιεὶς ἄτομα πώγωνος βάθη, εὖ δ’ ἐν

book 1.6 πεδίλῳ πόδα

book 1.7 τιθεὶς ὑπὸ ξυρόν, κνήμης ἱμάντων ἰσομέτροις ἑλίγμασιν,[ln_10]ὄγκῳ τε

book 1.8 χλανίδος εὖ τεθωρακισμένος, σχῆμ’ ἀξιόχρεων ἐπικαθεὶς βακτηρίᾳ ἀλλότριον, οὐκ οἰκεῖον, ὡς ἐμοὶ δοκεῖ,

book 1.1 ἔλεξεν „Ἄνδρες τῆς Ἀθηναίων

book 1.2 χθονός.“

book 1.1 [spk_β]Ἀλλ’ ἀγόρασον εὐτελῶς· ἅπαν γὰρ ἱκανόν ἐστι. Β. φράζε δή ποτε. Α. μὴ πολυτελῶς, ἀλλὰ καθαρείως ὅ τι ἂν ᾖ, ὁσίας ἕνεκ’, ἀρκεῖ τευθίδι’ ἢ σηπίδια·[ln_5]κἂν κάραβός

book 1.2 τις ᾖ λαβεῖν, εἷς ἀρκέσει ἢ δύ’ ἐπὶ τὴν

book 1.3 τράπεζαν. ἐγχελύδια Θήβηθεν ἐνίοτ’ ἔρχεται, τούτων λαβέ. ἀλεκτρυόνιον, φάττιον, περδίκιον, τοιαῦτα. δασύπους ἂν ἐπέλθῃ τις, φέρε.[ln_10]Β. ὡς μικρολόγος εἶ. Α. σὺ δέ γε λίαν

book 1.4 πολυτελής. πάντως κρέ’ ἡμῖν ἐστί. Β. πότερ’ ἔπεμψέ τις; Α. οὐκ ἀλλ’ ἔθυσεν ἡ γυνή. Β. τὸ μοσχίον τὸ τῆς Κορώνης αὔριον δειπνήσομεν.

book 2.1 Διονυσίου δ’ εἰ δράματ’ ἐκμαθεῖν δέοι, καὶ Δημοφῶντος ἅττ’ ἐποίησεν εἰς Κότυν, ῥήσεις

book 2.2 τε κατὰ δεῖπνον Θεόδωρός μοι λέγοι, Λάχητί τ’ οἰκήσαιμι τὴν ἑξῆς θύραν,[ln_5]κυμβία

book 2.3 τε παρέχοιμ’ ἑστιῶν Εὐριπίδῃ.

book 1.1 Τοιαῦθ’ ὑθλῶν δειπνεῖ καὶ ζῇ θαυμαζόμενος μετὰ μειρακίων, οὐ γιγνώσκων ψήφων ἀριθμούς, σεμνὸς

book 1.2 σεμνῶς

book 1.3 χλανίδ’ ἕλκων.

book 2 Οὐ Μενεκράτης μὲν ἔφασκεν εἶναι Ζεὺς θεός; Νικόστρατος δ’ Ἀργεῖος ἕτερος Ἡρακλῆς;

book 3.1 Ἔνθ’ ὄνων ἵππων

book 3.2 στάσεις καὶ γεύματ’ οἴνων.

book 1.1 Ὅταν γὰρ ὢν νέος ἀλλότριον ἐλθὼν ὄψον ἐσθίειν μάθῃ, ἀσύμβολόν

book 1.2 τε χεῖρα

book 1.3 προσβάλῃ βορᾷ, διδόναι νόμιζ’ αὐτὸν σὺ τῆς νυκτὸς λόγον.

book 1.1 Πότερον ἐγώ τὴν βατίδα

book 1.2 τεμάχη κατατεμὼν ἕψω; τί φῄς;

book 1.1 [spk_β]ἢ Σικελικῶς ὀπτὴν

book 1.2 ποιήσω; Β. Σικελικῶς.

book 2.1 Παππία, βούλει δραμών εἰς τὴν ἀγορὰν καταγοράσαι μοι; Β. φράζε τί. Α. ἰχθῦς

book 2.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φρονοῦντας, ὦ πάτερ. μή μοι βρέφη. Β. οὐκ οἶσθ’ ὁτιὴ τἀργύριόν ἐστ’ ἰσάργυρον;

book 3.1 Ὡς

book 3.2 σκαιὸς εἶ κἄγροικος αἰσχροεπῶν· ἔα, ἐπαρίστερ’ ἐν τῷ στόματι τὴν γλῶτταν

book 3.3 φορεῖς.

book 1-2.1 Φιλῶ γε

book 1-2.2 Πράμνιον οἶνον Λέσβιον. Πολλὴ δὲ Λεσβία

book 1-2.3 σταγὼν ἐκπίνεται ἄγαν.

book 3.1 Κάρυα, ῥόας, φοίνικας, ἕτερα νώγαλα, σταμνάριά τ’ οἴνου μικρὰ τοῦ φοινικίνου, ᾠάρια, τοιαῦθ’ ἕτερα

book 3.2 πολλὰ παίγνια.

book 4.1 [spk_β]Οἴνου

book 4.2 σε πλῆθος πόλλ’ ἀναγκάζει λαλεῖν. Β. οὐκοῦν μεθύοντάς

book 4.3 φασι τἀληθῆ λέγειν.

book 5 Ἵν’ ὥσπερ οἱ μύκητες ἀποπνίξαιμί σε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org